ἄλσος. ταύτην τὴν λαδίκην· ὡς ἐπεκράτησε καμβύσης αἰγύπτου. καὶ
ἐπύθετο αὐτῆς· ἥτις ἔην, ἀπέπεμψεν ἀσινέα ἐς κυρήνην· ἀνέθηκε δὲ
καὶ ἀναθήματα· πέμψας ὁ ἄμασις ἐς τὴν ἑλλάδα. τοῦτο μὲν ἐς κυρήνην
ἀνέθηκεν ἄγαλμα ἐπίχρυσον ἀθηναίης· καὶ εἰκόνα ἑωυτοῦ γραφῇ
εἰκασμένην· τοῦτο δὲ τῇ ἐν λίνδῳ ἀθηναίῃ, δύο τε ἀγάλματα λίθινα
καὶ θώρηκα ἀξιοθέητα· τοῦτο δὲ ἐς σάμον τῇ ἥρῃ εἰκόνας ἑωυτοῦ
διφασίας ξυλίνας· αἳ ἐν τῷ νηῷ τῷ μεγάλῳ ἱδρύατο· ἔτι καὶ τὸ μέ-
χρις ἐμεῦ ὄπισθε τῶν θυρῶν, ἐς μέν νυν σάμον ἀνέθηκε· κατὰ ξεινί-
ην ἑωυτοῦ τε καὶ πολυκράτεος τοῦ αἰάκεος· ἐς δὲ λίνδον ξεινίης
οὐδεμιῆς εἵνεκεν· ὅτι δὲ τὸ ἱερὸν τὸ ἐν λίνδῳ τὸ τῆς ἀθηναίης λέ-
γεται τὰς δαναοῦ θυγατέρας ἱδρύσασθαι προσχούσας· ὅτε δὴ ἀπεδί-
δρησκον τοὺς αἰγύπτου παῖδας· ταῦτα μὲν ἀνέθηκεν ὁ ἄμασις· εἷλε
δὲ κύπρον πρῶτος ἀνθρώπων· καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν·
ἐπὶ τοῦτον δὴ τὸν ἄμασιν, καμβύσης ὁ κύρου ἐστρατεύετο·

## ἡροδότου ἱστοριῶν

## θάλεια

Ἐπὶ τοῦτον δὴ τὸν ἄμασιν, καμβύσης ὁ κύρου ἐστρατεύετο. ἄγων
ἄλλους τε τῶν ἦρχε, καὶ ἑλλήνων, ἴωνάς τε καὶ αἰολέας, δι'
αἰτίην τοιήνδε· πέμψας καμβύσης ἐς αἴγυπτον κήρυκα, αἴτεε
ἄμασιν θυγατέρα· αἴτεε δὲ, ἐκ συμβουλίης ἀνδρὸς αἰγυπτίου·
ὃς μεμφόμενος ἄμασιν, ἔπρηξε ταῦτα· ὅτι μιν ἐξ ἁπάντων τῶν
ἐν αἰγύπτῳ ἰητρῶν. ἀποσπάσας ἀπὸ γυναικός τε καὶ τέκνων,
ἔκδοτον ἐποίησεν ἐς πέρσας· ὅτε κῦρος πέμψας παρὰ ἄμασιν
αἴτεε ἰητρὸν ὀφθαλμῶν, ὃς εἴη ἄριστος τῶν ἐν αἰγύπτῳ· ταῦτα
δὴ ἐπιμεμφόμενος ὁ αἰγύπτιος ἐνῆγε τῇ συμβουλῇ κελεύων,
αἰτέειν τὸν καμβύσεα ἄμασιν θυγατέρα· ἵνα ἢ δοὺς ἀνιῷτο,
ἢ μὴ δοὺς, καμβύσῃ ἀπέχθοιτο· ὁ δὲ ἄμασις τῇ δυνάμι τῶν
περσέων ἀχθόμενος καὶ ἀρρωδέων, οὐκ εἶχε οὔτε δοῦναι, οὔτε

γʹ

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

© Biblioteca Apostolica Vaticana

The Polonsky Foundation

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_176/0118